www.tezaurliturgic.ro

# ΟΚΤΩΒΡΙΟΥ ΙΕ΄

## ΜΝΗΜΗ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΛΟΥΚΙΑΝΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΑΝΤΙΟΧΕΙΑΣ

### ΕΙΣ ΤΟΝ ΜΙΚΡΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ὁ τῶν Μαρτύρων ἀλείπτης, καὶ μάρτυς ἄριστος, ὁ τοῦ ἐχθροῦ τὸ θράσος, ἀνδρικῶς καταισχύνας, ὁ θεῖος εὐφημείσθω Λουκιανός, χαρμοσύνως ἐν ᾄσμασιν, ὅτι πρεσβεύει ἀπαύστως ὑπὲρ ἡμῶν, τῷ Θεῷ τῷ παντοκράτορι.

Τῆς εὐσεβείας τοῖς τρόποις, καλλωπιζόμενος, ἀθλητικῆς εὐκλείας, κοινωνὸς ἀνεδείχθης, ἀνδρείως ἐναθλήσας Λουκιανέ, τῇ ἀγάπῃ τῇ κρείττονι, τοῦ δι᾽ ἡμᾶς ὑψωθέντος ἐν τῷ Σταυρῷ, καὶ ζωὴν θείαν πηγάσαντος.

Ἀκολουθήσας Κυρίου, πιστῶς τοῖς ἴχνεσιν, ὑπὲρ αὐτοῦ ἐτύθης, θεολήπτῳ καρδίᾳ, καὶ ὤφθης τῶν Μαρτύρων Λουκιανέ, θαυμαστὸν ἐγκαλλώπισμα· μεθ᾽ ὧν ἀπαύστως ἱκέτευε τὸν Θεόν, ὑπὲρ πάντων τῶν τιμώντων σε.

Αἱμοβαφὴς τῷ Κυρίῳ, οἰκείοις αἵμασι, Λουκιανὲ θεόφρον, ἐν ὑψίστοις παρέστης· διὸ τοὺς εὐφημοῦντας χαρμονικῶς, τὴν ἁγίαν σου ἄθλησιν, ἀπὸ κινδύνων διάσωσον χαλεπῶν, καὶ παντοίων περιστάσεων.

Δόξα Πατρί. Ἦχος β΄.

Αἰνετηρίοις ὕμνοις σήμερον οἱ πιστοί, Λουκιανὸν τὸν ἀγάφθεγκτον, ὁμοφώνως εὐφημήσωμεν· ὅτι ἐναντίον θεομάχου βασιλέως, ἐπαῤῥησιάσατο τὴν ἄμωμον πίστιν, τοῦ ἀληθινοῦ Βασιλέως Χριστοῦ· ᾧ νῦν ἐν οὐρανοῖς παριστάμενος, ὡς Ἱερεὺς ἐννομώτατος, καὶ Μάρτυς γενναιότατος, ὑπὲρ ἡμῶν ἱκετεύει ἐκτενῶς, τῶν εὐλαβῶς τελούντων, αὐτοῦ τὴν θείαν ἄθλησιν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.
Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Ὅλος τῷ θεϊκῷ, φωτὶ λελαμπρυσμένος, ὡς Ἱερεὺς καὶ Μάρτυς, Χριστῷ συμβασιλεύεις, Λουκιανὲ μακάριε.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Ὄφιν τὸν πονηρόν, κατῄσχυνας ἀθλήσας, λιμῷ πικρῷ καὶ δίψῃ, Λουκιανὲ παμμάκαρ, ὡς πλήρης θείας πίστεως.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ...

Θείᾳ κατασχεθείς, ὁλοσχερῶς ἀγάπῃ, ἐτέλεσας τὸν δρόμον, καλῶς τοῦ μαρτυρίου, Λουκιανὲ τρισένδοξε.

Δόξα Πατρί. Τριαδικόν.

Δόξα σοι ὦ Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ἡ ἄναρχος Θεότης, Λουκιανοῦ πρεσβείαις, δὸς

www.tezaurliturgic.ro



πᾶσι τά ἐλέη σου.

Καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Μαριάμ, θερμῶς σε ἱκετεύω, τὸ σκότος τῶν παθῶν μου, διάλυσον ἀκτῖσι, τῆς θεαυγοῦς σου χάριτος.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ

Μετὰ τὸν Προοιμιακόν, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. στ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἱερῶς ἐξεικόνισας, τοῦ Χριστοῦ τὰ παθήματα, ὑποστὰς τὴν ἔφοδον ἀνδρικώτατα, Λουκιανὲ τῶν τοῦ σώματος, μεγίστων κολάσεων, καὶ ἀθλήσας καρτερῶς, τῆς ζωῆς ἐκοινώνησας, σὺν τοῖς τάγμασι, τῶν ἐνδόξων τῆς πίστεως Μαρτύρων, μεθ᾽ ὧν πάντοτε δυσώπει, ὑπὲρ ἡμῶν τὸν Φιλάνθρωπον.

Τῇ δυνάμει φραξάμενος, τοῦ Σταυροῦ πρὸς τὸ στάδιον, ἀνδρικῶς ἐχώρησας τῆς ἀθλήσεως, Λουκιανὲ πανσεβάσμιε, καὶ ὄφιν τὸν δείλαιον, καταβέβληκας οἰκτρῶς, τοῖς μεγίστοις ἀγῶσί σου. Ὅθεν εἴληφας, οὐρανόθεν στεφάνους ἀφθαρσίας, καὶ ζωῆς κατηγλαΐσθης, ταῖς ἀνεσπέροις φαιδρότησι.

Τοῖς ἱμάσι πεδούμενος, τοῖς ὀστράκοις κεντούμενος, καὶ λιμῷ τηκόμενος ἀξιάγαστε, δίψῃ μακρᾷ χειμαζόμενος, καὶ ῥάβδοις τυπτόμενος, οὐκ ἠρνήσω τοῦ Χριστοῦ, τὸ γλυκύτατον ὄνομα, ἀλλ᾽ εὐπρόσδεκτος, προσηνέχθης αὐτῷ χαίρων θυσία, καὶ κατῄσχυνας τυράννου, Λουκιανὲ τὸ γαυρίαμα.

Προσόμοια ἕτερα. Ὁ αὐτός. Ἔδωκας σημείωσιν.

Λόγον θείας γνώσεως, πεπλουτηκὼς διὰ πίστεως, τοὺς πιστοὺς ἐβεβαίωσας, πολύπλοκα βάσανα, καὶ θυμὸν τυράννων, φέρειν θαρσαλέως, διὰ τὴν μέλλουσαν ζωήν, καὶ ἀφθαρσίαν καὶ ἀγαλλίασιν· διό σε μακαρίζομεν, Λουκιανὲ ἀξιάγαστε, καὶ τὴν θείαν σου σήμερον, ἐκτελοῦμεν πανήγυριν.

Εἱρκτὴν πολυχρόνιον, καὶ βιαιότατον θάνατον, ἐκαρτέρησας Ὅσιε, ἱμάσι πεδούμενος, καὶ λεπτοῖς ὀστράκοις, κεντούμενος μάκαρ, καὶ ἀσιτίᾳ χαλεπῇ, μακρᾷ τε δίψῃ ἐκπιεζόμενος· διό σε ἡ οὐράνιος, τρυφὴ σαφῶς διεδέξατο, ὡς ἀήττητον Μάρτυρα, ἀθλητὰ γενναιότατε.

Κόλπος σε θαλάττιος, Λουκιανὲ εἰσδεξάμενος, μεθ᾽ ἡμέρας τριάκοντα, τῇ χέρσῳ ἐκδίδωσιν, Ἰωνᾶν ὡς πάλαι, θηρὸς ὑπουργίᾳ, πρὸς θεοτίμητον ταφήν, καὶ ἰαμάτων θείαν ἀνάβλυσιν, Μαρτύρων ἀκροθίνιον, τῆς Ἐκκλησίας ἑδραίωμα· διὰ τοῦτο τιμῶμέν σε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα Πατρί. Ἦχος πλ. δ΄.

Δεῦτε τῶν φιλάθλων οἱ σύλλογοι, σήμερον ἀθροισθέντες πιστῶς, τοῖς ἐπαίνοις ὡς ἄνθεσι καταστέψωμεν, Λουκιανὸν τὸν ἐν Ἱερεῦσι γερασφόρον ἀθλητήν, τὸν δίκην ἀστέρος φαεινοῦ, ἐκλάμψαντος τῷ κόσμῳ φαιδρῶς. Οὗτος γὰρ ὁ γεράσμιος, ἐν τῷ πάσχειν τοὺς μισοθέους ἐτροποῦτο, καὶ ἐν τῷ λιμοκτονεῖσθαι, τὸ θράσος τοῦ βελίαρ ἐξενεύρου, τῇς χάριτος τῇ δυνάμει, ἐνισχυόμενος καὶ βοῶν· Εἰ καὶ τὸ σῶμά μου ταῖς βασάνοις δαπανήσητε, ἀλλ᾽ ἔχω τὸν Φιλάνθρωπον, ζωήν μοι θείαν δωρούμενον. Ὅθεν προγευόμενος τὰς οὐρανίους ἀμοιβάς, ὡς διψῶσά τις ἔλαφος μαρτυρικῶς, ἔσπευσε πρὸς ἐκείνας ὁ βαθύφρων· καὶ ἱερονίκους στεφάνους παρὰ Θεοῦ κομισάμενος, ὡς τὸ στάδιον τῆς ἀθλήσεως τελέσας καλῶς, αἰτεῖται ἡμῖν τοῖς ἐκτελοῦσι τὴν μνήμην αὐτοῦ, ἱλασμὸν ἁμαρτιῶν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστιν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ᾽ οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε Μήτηρ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα, ἃ ζήτει ἐν τῇ σελίδι 2 τοῦ παρόντος, ἐν τῇ μνήμῃ τοῦ ἁγίου μεγαλομάρτυρος Νικήτα.

www.tezaurliturgic.ro



ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ, Ἰδιόμελα.

Ἦχος α΄.

Ἀθλοφορικοὺς στεφάνους ἐκομίσω παρὰ Θεοῦ, Λουκιανὲ ἱερομάρτυς παναοίδιμε, ὅτι ὑπὲρ Χριστοῦ, τὸ στάδιον τοῦ μαρτυρίου διήνυσας, καὶ τὸν καλὸν ἀγῶνα ἐπὶ γῆς, τῇ συμμαχίᾳ τῆς χάριτος ἐτέλεσας. Ὅθεν ἀενάως ἐκβλύζεις τοῖς πιστοῖς τὰ ἰάματα, καὶ διασῴζεις ἀπὸ κινδύνων χαλεπῶν, τοὺς εὐλαβῶς τελοῦντας τὴν μνήμην σου.

Ἦχος β΄.

Ἐκ ῥίζης εὐσεβοῦς, ἀνεφύης βλαστὸς εὐθαλής, Λουκιανὲ πανθαύμαστε· γεωργίᾳ δὲ κρείττονι γεωργηθείς, τοὺς μυστικοὺς τῆς χάριτος καρπούς, ἀθλητικῶς ἐκαρποφόρησας, δι᾽ ὧν ἐκτρέφεις ἀεὶ τὰς ψυχάς, τῶν ἐν ὕμνοις αἰνετηρίοις, εὐφημούντων σε πιστῶς, καὶ τῷ Κυρίῳ βοώντων· Ὁ τὸν ἐκλεκτόν σου θεράποντα, πρὸς τὴν σὴν δοξολογίαν ἐνισχύσας, παντοδύναμε καὶ οἰκτίρμων, Κύριε δόξα σοι.

Ἦχος γ΄.

Θησαυρίσας ὡς νουνεχής, ἐν τῇ καθαρᾷ σου καρδίᾳ, Λουκιανὲ πανσεβάσμιε, δι᾽ ἀρετῶν ἐργασίας, τὸν πλοῦτον σοφίας τῆς ἄνωθεν, τῶν ζωηφόρων ῥημάτων ἑρμηνεύς, καὶ τοῦ Θεοῦ τῶν μυστηρίων Ἱερεύς, ἀνεδείχθης θαυμασιώτατος· καὶ θύων ἀμωμήτοις χερσί, τὰς ἀναιμάκτους τῷ Κυρίῳ θυσίας, οὐδαμῶς τοῖς ξοάνοις, θυσίαν προσένειμας. Ὅθεν ἀπηνῶς θανατωθείς, πρὸς τὴν ἀτελεύτητον κατήντησας ζωήν, ἧς τὸν πόθον ἱκετεύω σε, ἐν τῇ ψυχῇ μου ἐμφύτευσον, τῇ δραστικῇ σου χάριτι.

Ἦχος δ΄.

Ἐν εἱρκτῇ ζοφερᾷ φρουρούμενος, καὶ λιμῷ σὺν δίψει τηκόμενος, ὡς δεύτερος Ἰώβ, ἐνθέῳ καρδίᾳ τὸν Θεόν, Λουκιανὲ ἐδοξολόγεις βοῶν· Δόξα σοι Κύριε, καὶ εὐλογημένον τὸ ὄνομά σου, ὅτι κοινωνὸν κατηξίωσας, τοῦ πάθους σου γενέσθαι με, δι᾽ οὗ τῷ κόσμῳ ἐδωρήσω τὴν ζωήν, καὶ τὸ μέγα ἔλεος ὡς φιλάνθρωπος.

Δόξα Πατρί. Ἦχος πλ. β΄.

Δεῦτε ὁμοφώνως ἀδελφοί, αἰνετηρίοις ὕμνοις εὐφημήσωμεν, Λουκιανὸν τὸν καρτερόφρονα ἀθλητήν, τὸν μιμητὴν ὀφθέντα, τῶν παθημάτων Χριστοῦ τοῦ Θεοῦ· Χαίροις ἐκβοῶντες αὐτῷ, ὁ ὀστράκοις τὸ σῶμα κεντηθείς, τῇ ἀγάπῃ τοῦ δι᾽ ἡμᾶς, λογχευθέντος τὴν πλευράν· χαίροις ὁ λιμῷ ἀπηνῶς θανατωθείς, τῷ ἔρωτι τοῦ τρέφοντος, τὴν οἰκουμένην ἅπασαν· χαίροις Ἱερομάρτυς γεράσμιε, ὁ τὸν ἀγριόθυμον καταισχύνας τύραννον, καὶ ἀνδρικῶς κατεδαφίσας, τῶν εἰδώλων τοὺς βωμούς, καὶ τὰ ἀναίσθητα ξόανα. Ἀλλ᾽ ὡς τῷ τῆς Θεότητος θρόνῳ παριστάμενος, πρέσβευε ἐκτενῶς, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ, Στιχηρὰ Προσόμοια.
Ἦχος δ΄. Ὁ ἐξ ὑψίστου κληθείς.

Φιλομαρτύρων οἱ δῆμοι συνελθόντες, δεῦτε τὸν ἐξάκουστον ἀνευφημήσωμεν, τοῦ Λυτρωτοῦ Ἱερόαθλον, ἀναβοῶντες, ἐν κατανύξει καρδίας σήμερον· Χριστοῦ ὁ τῷ ἔρωτι, ἀθλήσας ἄριστα, καὶ καταισχύνας τὴν ἔπαρσιν, τοῦ ἀρχεκάκου, πρόστηθι πάντων, τῶν εὐφημούντων σε, Λουκιανὲ θεομακάριστε, τῇ δυνάμει τῆς θείας πρεσβείας σου, ἵν᾽ ἀπαύστως τιμῶμεν, τὰ λαμπρά σου κατορθώματα.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην...

Τοῦ δι᾽ ἡμᾶς ἐν Σταυρῷ ἀνυψωθέντος, καὶ πᾶσι πηγάσαντος ζωὴν αἰώνιον, ὡς τετρωμένος τῷ ἔρωτι, τὴν τοῦ τυράννου, πικρὰν μανίαν στεῤῥῶς ὑπήνεγκας· καὶ χαίρων ὑπέμεινας, τὰς τῶν κολάσεων, σφοδρὰς ἐφόδους τὴν κρείττονα, ζωὴν προβλέπων, Ἱερομάρτυς ὡς πλήρης πίστεως· ἐν ᾗ ἐνδόξως αὐλιζόμενος, νῦν ἐξαίτει ἡμῖν τὰ συμφέροντα, τοῖς ἐν ὕμνοις τιμῶσι, τὰ σεπτά σου κατορθώματα.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

Τῷ τεθυμένῳ Χριστῷ ἐπὶ τοῦ ξύλου, δι᾽ ἄφατον ἔλεος ἀξιοθαύμαστε, Λουκιανὲ προσενήνεξαι, τερπνὴ θυσία, καὶ ἱερώτατον ὄντως σφάγιον, χερσὶ παμμακάριστε, ἱερουργούμενος, τοῖς ἀνιέροις ὁ δίκαιος, ὁ τῷ Κυρίῳ, ἱερουργήσας πρῴην ὡς

www.tezaurliturgic.ro



Ἄγγελος. Ὅθεν ἀξίως κομισάμενος, τῆς ζωῆς τὸν ἀμάραντον στέφανον, ἐν σκηναῖς πρωτοτόκων, ἀνεπαύσω εὐφραινόμενος.

Δόξα Πατρί. Ἦχος β΄.

Ἐθαυμαστώθης ὑπὲρ ἔννοιαν, Λουκιανὲ πανσεβάσμιε, ὁμολογήσας ἀνδρείως τοῦ Σωτῆρος τὸ ὄνομα, καὶ ἀθλήσας γενναιοπρεπῶς, διὰ τὸν σχίσαντα ἐν τῷ Σταυρῷ, τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν. Διὸ κόλπος θαλάττιος, τὸ μαρτυρικόν σου σῶμα οὐκ ἐκράτησεν, ἀλλὰ δελφῖνος ὑπουργίᾳ, τῇ χέρσῳ ἐξέδωκε μεθ' ἡμέρας τριάκοντα, ὡς πάλαι Ἰωνᾶν τὸν θαυμασιώτατον. Ὅθεν ἐκτενῶς δεόμεθα, μὴ διαλίπῃς πρεσβεύειν τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Μυστικῶς διαθρέψας, ἄρτῳ θείῳ τῶν λόγων σου, τοὺς λιμοκτονοῦντας ἀθλίως, τῇ ἀπάτῃ τοῦ χείρονος, μετέστης λιμοθνὴς πρὸς οὐρανούς, καὶ ὤφθης λαμπροφόρος δαιτυμών, ἀληθῶς ἱερομάρτυς Λουκιανέ, τραπέζης τῆς αἰωνίου. Δόξα τῷ σὲ ἰσχύσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

Θεοτοκίον τοῦ ἤχου καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος α΄. Τὸν τάφον σου.

Χριστοῦ τοῦ δι' ἡμᾶς, τὴν πλευρὰν λογχευθέντος, τῷ ζήλῳ ὁλικῶς, πυρακτούμενος Μάρτυς, ὀστράκων καθυπέμεινας, τὰς κεντήσεις ὡς ἄσαρκος, καὶ ἐκέντησας, ἐν τῷ κεντᾶσθαι τὸ σῶμα, ἀπηνέστατα, Λουκιανὲ τὸν βελίαρ, δεινῶς φρυαττόμενον.

Θεοτοκίον.

Μαρία τοῦ Θεοῦ, ἡ ἀμόλυντος νύμφη, καὶ μόνη τῶν πιστῶν, πρὸς Θεὸν μεσιτεία, παθῶν μου τὸν κλύδωνα, χάριτί σου κατεύνασον, καὶ ὁδήγησον, πρὸς σωτηρίας με ὅρμον, ἵνα πάντοτε, ὑμνολογῶ χαρμοσύνως, τὸν ἄφραστον τόκον σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.
Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὡς ῥημάτων ἑρμηνεύς, τῶν τοῦ Κυρίου ἀκριβής, καὶ λαμπρὸς ἱερουργός, τῶν μυστηρίων τῶν φρικτῶν, τοῦ μαρτυρίου ἐτέλεσας τοὺς ἀγῶνας. Ὅθεν ἀληθῶς, προσενήνεξαι, θῦμα τῷ Θεῷ, ἱερώτατον, Λουκιανέ· διό σε εὐφημοῦμεν, οἱ εὐσεβεῖς ἀνακράζοντες· Χριστὸν δυσώπει, ὑπὲρ τῶν πίστει, ἐκτελούντων σὴν μνήμην.

Θεοτοκίον.

Συντριβέντα με δεινῶς, ταῖς προσβολαῖς τῶν πειρασμῶν, καὶ στενούμενον παθῶν, ταῖς χαλεπαῖς ἐπιφοραῖς, τῇ σῇ προστρέχω Θεόνυμφε βοηθείᾳ· σῶσόν με Ἁγνή, τὸν ταλαίπωρον, ῥῦσαί με ἐχθροῦ, τὸν ἀσύνετον, ἵνα ψυχῇ εὐγνώμονι Ἀγγέλου, τὸν ἀσπασμὸν ἀνακράζω σοι· Παρθένε χαῖρε, εὐλογημένη, ἡ τὸν Λόγον τεκοῦσα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.
Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τοὺς ματαιόφρονας, ἀθλήσει ᾔσχυνας, καὶ τὸν παγκάκιστον, ἐχθρὸν ἐνέκρωσας, καὶ λιμοθνὴς Λουκιανὲ μετέστης πρὸς τὸν Δεσπότην· Ὅθεν σε ἡ τράπεζα, τῆς ζωῆς ὑπεδέξατο, ἧς κἀμὲ ἀνάδειξον, δαιτυμόνα πρεσβείαις σου, τὸν πίστει σοι καὶ πόθῳ βοῶντα· Χαίροις Χριστοῦ Ἱερομάρτυς.

Θεοτοκίον.

Ἐπαναστάσεσι, κλυδωνιζόμενον, παθῶν τοῦ σώματος, τὸν ἀθλιώτατον, καὶ χειμαζόμενον δεινῶς τῶν θλίψεων τρικυμίᾳ, σῶσόν με Πανάχραντε, συμπαθὴς ὡς ὑπάρχουσα, ἵν' ἀνακραυγάζω σοι, γηθοσύνως ἐν ᾄσμασι, τῇ νύμφῃ καὶ Μητρὶ τοῦ Κυρίου· Χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί, ἤτοι· τὸ α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοί σου ἀγαλλιάσονται.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον, ζήτει τῇ κστ΄ Ὀκτωβρίου.

Ὁ Ν΄. Δόξα Πατρί. Ταῖς τοῦ Ἀθλοφόρου... Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

www.tezaurliturgic.ro



Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Τὸν ἀεροπετῆ τῆς ἀθλήσεως, καὶ χρυσοπτέρυγα ἀετόν, Λουκιανὸν τὸν παναοίδιμον, χρεωστικῶς ἀδελφοὶ μακαρίσωμεν· ὅτι ταῖς πτέρυξιν αὐτοῦ, σκέπει ἀπαύστως ἡμᾶς, καὶ λυτροῦται ἐξ ἐχθρῶν ἐπιδρομῆς, καὶ πάσης ἄλλης χαλεποῦς ἐπιβουλῆς, τοὺς εὐφημοῦντας αὐτόν, καὶ τῷ Κυρίῳ βοῶντας· Ὁ τῶν Μαρτύρων σου τοῖς αἵμασι, τὴν Ἐκκλησίαν σου πορφυρώσας, καὶ δι᾽ αὐτῶν ἀληθῶς, τῆς εὐσεβείας τὴν δύναμιν τρανώσας, ὑπερύμνητε καὶ φιλάνθρωπε, Κύριε δόξα σοι.

Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα· ὁ Κανὼν τῆς Θεοτόκου, καὶ οἱ Κανόνες τοῦ Ἁγίου. Κανὼν πρῶτος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Σοῦ Λουκιανὲ παμμάκαρ μέλπω κλέος». Ποίημα Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἄσομαί σοι Κύριε.

Σοφίᾳ καὶ χάριτι καὶ δυνάμει, πνευματικῇ Λουκιανέ, ἐκλάμψας ἐφώτισας, λαοὺς καὶ πρὸς ἐπίγνωσιν, Χριστοῦ μάρτυς ὡδήγησας.

Ὅπλοις εὐσεβείας σε θωρακίσας, ὁ τὴν ἀσθένειαν ἡμῶν, φορέσας ὡς εὔσπλαγχνος, ἀήττητον εἰργάσατο, ἐχθρῶν Μάρτυς παλαίσμασιν.

Ὕψος πρὸς οὐράνιον τοὺς εἰς βάθος, κακοπιστίας Ἀθλητά, πεσόντας ἀνείλκυσας, δικτύοις τῶν ἐνθέων σου, δογμάτων ἀξιάγαστε.

Θεοτοκίον.

Λόγῳ τὸν ἀΐδιον Πατρὸς Λόγον, ὑπὲρ αἰτίαν καὶ λόγον, ἀσπόρως συνέλαβες, Ἁγνὴ καὶ ἀπεκύησας, ἡμῶν εἰς ἀπολύτρωσιν.

Κανὼν δεύτερος τοῦ Ἁγίου, οὗ ἡ Ἀκροστιχίς· «Λουκιανῷ Κύριλλος ἐπαίνους πόθῳ πλέκω».

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Λελαμπρυσμένος ἀστραπαῖς τῆς χάριτος, ὡς τοῦ Χριστοῦ μιμητής, καὶ μυστικῇ αἴγλῃ, ὅλος φωτιζόμενος, διάλυσον τὴν σκότωσιν, τῶν ἀμέτρων παθῶν μου, ὡς ἂν ὑμνήσω σε σήμερον, ὦ Λουκιανὲ πανσεβάσμιε.

Ὁ δι᾽ ἡμᾶς σωματωθεὶς δι᾽ ἔλεος, τὸ καθαρὸν σῆς ψυχῆς, προγνοὺς ἀθλοφόρε, τῆς σοφίας δέδωκεν, ἀφθόνως σοι τὰς χάριτας, δι᾽ ὧν μέγας ἐδείχθης, τῆς εὐσεβείας διδάσκαλος, ὦ Λουκιανὲ παμμακάριστε.

Ὑπεραστράψας ἀστραπαῖς τῆς γνώσεως, τῆς θεϊκῆς ὡς φωστήρ, τοῦ Εὐαγγελίου, ἑρμηνεὺς θεόσοφος, παμμάκαρ ἀναδέδειξαι, καὶ πολλοὺς πρὸς τὴν πίστιν, Λουκιανὲ τὴν σωτήριον, λόγοις σου πανσόφοις ἐφείλκυσας.

Καταφυγή σου ψαλμικῶς καὶ δύναμις, Λουκιανὲ ὁ Χριστός, γεγονὼς ὑπῆλθες, μαρτυρίου στάδιον, καὶ λιμοθνὴς ἀνέδραμες, πρὸς τὰς ἄνω σκηνώσεις, ἔνθα ἀξίως τοῦ βρώματος, τῆς ἀθανασίας μετέλαβες.

Θεοτοκίον.

Ἱερωτάταις σε φωναῖς γεραίρομεν, τῶν εὐσεβῶν οἱ χοροί, προστασίαν Μῆτερ, καὶ θερμὴν βοήθειαν, μετὰ Θεόν σε ἔχοντες, τὴν Θεὸν ἀποῤῥήτως, δίχα φυρμοῦ καὶ συγχύσεως, δι᾽ ἡμᾶς φρικτῶς σωματώσασαν.

Κανὼν πρῶτος. Ὠδὴ γ΄. Τόξον δυνατῶν.

Οἶκον ἀρετῶν λαμπρότητι, Μάρτυς τὴν ψυχήν σου, σὺ τῷ Θεῷ ἀπετέλεσας, τῶν εἰδώλων δὲ τὰ τεμένη, προσευχαῖς σου κατηδάφισας.

Ὕμνεις πειρασμοῖς κυκλούμενος, Μάρτυς καὶ βασάνοις, ἀλγειναῖς πιεζόμενος, τὸν τοιούτων ὡς εὐεργέτην, ἀγαθῶν σε ἀξιώσαντα.

Σῶμα αἰκισμοῖς παρέδωκας, Μάρτυς τὴν ψυχὴν δέ, ἀσφαλῶς διετήρησας, θῦμα ἄμωμον τῷ Δεσπότῃ, σεαυτὸν προσάξας πάντιμον.

Θεοτοκίον.

Κόρης βρέφος ἀποτίκτεται, ὁ δημιουργήσας, τοὺς αἰῶνας βουλήματι· ἣν ὑμνοῦμεν ὡς Θεοτόκον, καὶ ἀπαύστως μακαρίζομεν.

Κανὼν δεύτερος. Οὐρανίας ἁψῖδος.

Ἀληθείας τῷ πόθῳ, κατατρωθεὶς ἔνδοξε, ψεύδους τὰς ἐπάρσεις καθεῖλες, ἔργοις καὶ λόγοις σου. Ὅθεν τετύχηκας, Λουκιανὲ τῆς ἀφράστου, ὡς Χριστὸς ὑπέσχετο, μακαριότητος.

Νεκρωθεὶς τοῖς ἐν κόσμῳ, ἀσκητικοῖς πόνοις σου, γνῶσιν κατεπλούτησας θείαν, δι᾽ ἧς ἐσόφισας, οὓς ἀπεμώρανε, τῆς τῶν εἰδώλων λατρείας, πλάνη ἡ κακόπιστος, ἀειμακάριστε.

Ὡς λαμπρά σου τὰ ἆθλα, Λουκιανὲ ἔνδοξε! ὡς περιφανεῖς οἱ ἀγῶνες! δι᾽ ὧν ἠξίωσαι, ἔνδον

www.tezaurliturgic.ro



τῆς κρείττονος, σκηνῆς ἀξίως γενέσθαι, μνημονεύων πάντοτε, τῶν εὐφημούντων σε.

Θεοτοκίον.

Καταιγίδι με Κόρη, πολυειδῶν θλίψεων, καὶ ἀσθενειῶν τρικυμίᾳ, νῦν χειμαζόμενον, σῶσον τὸν δοῦλόν σου, τὸν ἀρχηγὸν τῆς γαλήνης, ὡς τεκοῦσα ἄχραντε, δι' ἀγαθότητα.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῷ τῆς χάριτος λόγῳ τὰς τῶν πιστῶν, ὑπαλείφων καρδίας Λουκιανέ, ἀθλεῖν παρεσκεύασας, καὶ τροποῦσθαι τὸν τύραννον· καὶ καλῶς τὸν δρόμον, τελέσας τὸν ἔνθεον, ἐπὶ τέλει δόξης, Μαρτύρων ἠξίωσαι· Ὅθεν συνελθόντες, τὴν ἁγίαν σου μνήμην, τιμῶμεν ἀοίδιμε, τὸν Σωτῆρα δοξάζοντες, Ἀθλοφόρε πανεύφημε. Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον· ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζουσι, τὸν πανάγιον τόκον σου, καὶ συμφώνως βοῶμέν σοι· Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσιν ἀξίως, τὴν δόξαν σου Ἄχραντε.

Κανὼν πρῶτος. Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἰσχυρὸς κατὰ τῆς πλάνης, ἀνεδείχθης μακάριε, καὶ πολλῶν ἀλείπτης, θείους πρὸς ἀγῶνας ἑκάστοτε· ὑπομονῇ δὲ βασάνων τὴν ἀνίσχυρον, ἐταπείνωσας, Μάρτυς ἰσχὺν τοῦ ἀλάστορος.

Ἁπλωθεὶς ἐπὶ τοῦ ξύλου, καὶ ἱμάσι τεινόμενος, καὶ λιμῷ καὶ δίψει, τῇ πολυχρονίῳ τηκόμενος, καὶ λεπτοτάτοις ὀστράκοις ἐκκεντούμενος, ἐκαρτέρησας, Λουκιανὲ ἀξιάγαστε.

Νόμον θεῖον καταγγέλλων, ἀνομοῦντας ἐπέστρεψας, καὶ πιεῖν προθύμως, πόμα μαρτυρίου ὑπέδειξας, μεθ' ὧν εἰς θείας ἐπαύλεις κατεσκήνωσας, ἐντρυφῶν τῷ ξύλῳ, τῆς ζωῆς παναοίδιμε.

Θεοτοκίον.

Ἐκ γαστρός σου ἀναλάμψας, τῆς Θεότητος Ἥλιος, τοὺς ἐν σκότει Κόρη, τῆς πολυθεΐας ἐφώτισε, τοὺς ἐν σκιᾷ τοῦ θανάτου κατελάμπρυνεν· ᾧ κραυγάζομεν· Δόξα Χριστὲ τῇ δυνάμει σου.

Κανὼν δεύτερος. Εἰσακήκοα Κύριε.

Ὑπελθὼν ὥσπερ ἄσαρκος, τὰ τοῦ μαρτυρίου Μάρτυς ἐπίπονα, τὴν ἀνώδυνον κεκλήρωσαι, ἐν ὑψίστοις δόξαν καὶ ἀπόλαυσιν.

Ῥητορεύσας τῆς πίστεως, λόγον τὸν σωτήριον πλείστοις γέγονας, σωτηρίας θείας πρόξενος, ὦ Λουκιανὲ ἀειμακάριστε.

Ἰατρὸς δραστικώτατος, μάκαρ τῶν νοσούντων τῇ πλάνῃ πέφηνας, ὥσπερ φάρμακα χρησάμενος, τοῦ Εὐαγγελίου τὰ διδάγματα.

Θεοτοκίον.

Λυτρωτὴν ἡ κυήσασα, τοῖς ἀνθρώποις Μῆτερ δι' ἀγαθότητα, λύτρωσαί με ὡς φιλεύσπλαγχνος, τοῦ πυρὸς τῆς γεέννης πρεσβείαις σου.

Κανὼν πρῶτος. Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Πυρπολήσας Ὅσιε, ἀκάνθας τῶν παθῶν, δι' ἱδρώτων ἀσκητικῶν, ταῖς ῥοαῖς κατέσβεσας τῶν ἀγώνων σου, ἀσεβείας κάμινον, γενναιόφρον παμμακάριστε.

Αἰκισμοῖς βαλλόμενος, νιφάσιν ἀλγεινῶν, διαμένεις πρὸς τὸν Θεόν, ἀτενίζων Ἅγιε, σῴζειν δυνάμενον· οὗ χερσὶ τὸ πνεῦμά σου, ἐναπέθου εὐφραινόμενος.

Μακρυνθέντας ἤλεγχες, Θεοῦ τοὺς δυσσεβεῖς, καὶ μακραῖς καὶ ὀδυνηραῖς, ἀλγηδόσιν ἔνδοξε περικυκλούμενος, τῷ Χριστῷ προσήγγισας, οὗ τὸ πάθος ἐξεικόνισας.

Θεοτοκίον.

Μετὰ τόκον ἄφθορος, διέμεινας Ἁγνή, καὶ φθορᾶς γένος τῶν βροτῶν, ὡς Θεὸν γεννήσασα ἠλευθέρωσας· διὰ τοῦτο πίστει σε, ὀρθοδόξως μακαρίζομεν.

Κανὼν δεύτερος. Ἱνά τι με ἀπώσω.

Λελουμένος τοῖς λύθροις, τῶν μαρτυρικῶν σου αἱμάτων μακάριε, τῷ ἀστέκτῳ θρόνῳ, τῆς Τριάδος παρέστης γηθόμενος, ὑπὲρ τῶν τιμώντων, Λουκιανὲ τὴν ἄθλησίν σου, ἀναφέρων δεήσεις ἑκάστοτε.

Ὀχυρώτατον ὄντως, λογισμὸν ἐν τῇ πίστει σοφὲ κτησάμενος, μαρτυρίῳ θείῳ, ἅπαν πλάνης

www.tezaurliturgic.ro



καθεῖλες ὀχύρωμα, καὶ παρὰ Κυρίου, Λουκιανὲ ὥσπερ βραβεῖον, τὴν ζωὴν τὴν ἀγήρω ἀπέλαβες.

Σεβασμάτων βεβήλων, γραφικῶς ἀποδείξας τὴν ματαιότητα, ἐκ τῆς ἀπωλείας, τοῦ βυθοῦ τοὺς ἀνθρώπους ἀνείλκυσας, πρὸς τὸ θεῖον ὕψος, Λουκιανὲ τῆς σωτηρίας, ἧς κἀμὲ ταῖς εὐχαῖς σου ἀξίωσον.

Θεοτοκίον.

Εὐσυμπάθητον Μῆτερ, ὡς τεκοῦσα Σωτῆρα ἴδε τὴν κάκωσιν, τῆς ἐμῆς καρδίας, καὶ ταχεῖάν μοι δίδου βοήθειαν, ἵνα μακαρίζω, ὡς προστασίαν μου καὶ σκέπην, Θεοτόκε βεβαίαν σε πάντοτε.

Κανὼν πρῶτος. Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Ἀβρόχως, τῶν βασάνων διέβης τὸν κλύδωνα· τῇ παναλκεῖ δὲ παλάμῃ, ἐκ βυθοῦ τὸ σῶμά σου διεσώθη, τοῖς ποθοῦσιν, ἀσινὲς θεομάκαρ ὁρώμενον.

Ἀγάπῃ, τοῦ Χριστοῦ πυρπολούμενος ἔνδοξε, μέχρι θανάτου ἀντέστης, τοῖς τυράννοις πάνσοφε· διὰ τοῦτο, βασιλείας οὐρανῶν ἠξιώθης γηθόμενος.

Κητῴας, ἐκ γαστρὸς Ἰωνᾶν ὁ ῥυσάμενος, τριημερεύσαντα σῴζει, σὲ βυθοῦ θαλάσσης καθυπουργούντων, ἐναλίων, τῶν θηρῶν μεθ' ἡμέρας τριάκοντα.

Θεοτοκίον.

Ἁγνήν σε, περιστερὰν καὶ μόνην ἀμίαντον, ὁ καθαρὸς εὗρε Λόγος, καὶ ἐκ σοῦ τεχθῆναι εὐδόκησε, Παναγία, Θεομῆτορ Παρθένε πανάμωμε.

Κανὼν δεύτερος. Ἱλάσθητί μοι Σωτήρ.

Πυρούμενος ὁλικῶς, Χριστοῦ παμμάκαρ τῷ ἔρωτι, τὰς πολυτρόπους ποινάς, στεῤῥῶς καθυπέμεινας, ἐν αἷς ἐτραυμάτισας, τὸν τῆς ἀληθείας, ἀνθρωπόλεθρον πολέμιον.

Ἀσκήσεως λαμπρυνθείς, Λουκιανὲ ἀγωνίσμασιν, ἐδέξω παρὰ Θεοῦ, ἰσχὺν τὴν ἀήττητον, ἐν ᾗ καταβέβληκας, εἰδωλομανίας, τὴν ὀφρὺν τὴν ψυχολέτειρα.

Ἱερουργήσας καλῶς, ζωῆς τὸν ἄρτον μακάριε, ἱερουργήθης χερσί, βεβήλοις ὁ δίκαιος, καὶ ζῶσα τῷ ἔρωτι, σῆς ψυχῆς θυσία, προσηνέχθης Χριστῷ ἔνδοξε.

Θεοτοκίον.

Νοσοῦσάν μου τὴν ψυχήν, ἁγνὴ Παρθένε θεράπευσον, καὶ βήματι τῷ φρικτῷ, σῳζόμενον ὅλον με, παράστησον δέομαι, τοῦ Υἱοῦ σου Μῆτερ, ἵνα πόθῳ μακαρίζω σε.

Κοντάκιον. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Τὸν ἐν ἀσκήσει τὸ πρότερον λαμπρυνθέντα, καὶ ἐν ἀθλήσει τὸ δεύτερον φαιδρυνθέντα, πάντες ὡς φωστῆρά σε φαιδρότατον, Λουκιανὲ τοῖς ὕμνοις, ἐνδόξως σε γεραίρομεν. Πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Γνώσει τῇ θείᾳ καθωπλισμένος, καὶ τὸν νοῦν θείᾳ δόξῃ ἐλλαμφθείς, Ἀθλητὰ τῷ Πνεύματι φωτιζόμενος, μάχαιρα ὤφθης ἐστιλβωμένη, τὰ ζιζάνια πάντα ἄρδην ἐκτέμνων, αἱρετικῶν τὰ ἀλλόφυλα δόγματα ἔνδοξε· καὶ κῆρυξ τῆς ἀληθείας, πρὸς ζωὴν ὑπαλείφων ἅπαντας, τοὺς εὐσεβῶς προσιόντας σοι, ἐκ κινδύνων δὲ λυτροῦσαι καὶ θλίψεων. Πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Μηνολόγιον.

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Λουκιανοῦ, πρεσβυτέρου Ἀντιοχείας τῆς μεγάλης.

Στίχοι.

Ἄρτου στερήσει Λουκιανὸς ἀντέχει,
Τοῦ ζῶντος Ἄρτου μὴ στερηθῆναι θέλων.

Λιμῷ Λουκιανὸς δεκάτῃ θάνεν ἠδέ τε πέμπτῃ.

Συναξάριον.

Οὗτος εὐσεβῶν γονέων ὑπάρχων υἱός, μετὰ τὴν τούτων ἀποβίωσιν, πάντα τοῖς δεομένοις σκορπίσας, τῇ μελέτῃ τῶν θείων Γραφῶν ἐσχόλαζε· διὸ καὶ πολλοὺς Ἰουδαίους καὶ Ἕλληνας πρὸς τὴν εἰς Χριστὸν πίστιν ἐπεσπάσατο. Καταλιπὼν δὲ τὴν οἰκείαν πόλιν, καὶ τὴν Νικομήδειαν καταλαβών, τοὺς φόβῳ κολάσεων κατολιγωροῦντας τῆς πίστεως, ὑπήλειφε πρὸς τοὺς ἀγῶνας. Εἰς κάλλος δὲ γράφειν ἐπιστάμενος, βιβλίον κατέλιπε τῇ Νικομηδέων Ἐκκλησίᾳ, γεγραμμένον σελίσι τρισσαῖς, (εἰς τρεῖς στήλας διῃρημένης τῆς σελίδος), περιέχον πᾶσαν τὴν Παλαιάν τε καὶ τὴν Νέαν Διαθήκην. Τοσοῦτον δὲ γέγονεν ὑπὲρ ἄνθρωπον, ὥς τε τὴν πόλιν διερχόμενος, οἷς μὲν ἤθελε, θεωρητὸς ἦν, τοῖς δὲ λοιποῖς ἀθεώρητος.

Περὶ τούτου μαθὼν ὁ Μαξιμιανὸς καὶ αἰσχυνθεὶς τὸ πρόσωπον ὀφθῆναι αὐτοῦ, ὑπὸ παραπετάσματι αὐτῷ διαλέγεται· καὶ γνοὺς τὸ τῆς γνώμης αὐτοῦ ἀμετάθετον, μακρὸν αὐτῷ καταδικάζει λιμόν. Ἐπὶ πολλὰς οὖν ἡμέρας βρώσεως καὶ πόσεως μὴ μεταλαβών, ἐν τῇ φρουρᾷ ἐτελεύτησε· τὸ δὲ σῶμα τούτου προστάξει τοῦ ἡγεμόνος ἐῤῥίφθη ἐν τῇ θαλάσσῃ· δελφὶς δὲ τοῦτο προστάξει Θεοῦ ἐπὶ τῶν ὤμων φέρων, τῇ χέρσῳ παρέπεμψε.

www.tezaurliturgic.ro



Ταῖς αὐτοῦ πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Κανὼν πρῶτος. Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ῥύμην ῥημάτων τῶν σοφῶν, τύραννος διώκτης μὴ φέρων, καὶ θανατοῖ σε καὶ βυθῷ, θαλαττίῳ ῥοσρίπτει τὴν ἄνω σοι, προξενῶν ὡς οὐκ ᾤετο, βασιλείαν εἰς αἰῶνας καὶ θείαν δόξαν.

Μὴ προσκυνήσας τοῖς γλυπτοῖς, γόνυ τε μὴ κάμψας εἰδώλοις, εἰς πῦρ ἐβλήθης θλιβερόν, ς βασάνων εἰσῆλθες τὴν κάμινον, δροσιζόμενος νεύματος, δροσοβόλῳ δυναστείᾳ θεόφρον Μάρ-ς.

Νενεκρωμένους καὶ βυθῷ, τῆς ἑλληνικῆς ἀθείας, καταποθέντας τοὺς λαούς, ζωηφόροις ου λόγοις ἀνείλκυσας, μελῳδῶν ἀξιάγαστε· Ὁ εὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Θεοτοκίον.

Εὐλογημένος ὁ καρπός, τῆς εὐλογημένης γαστρός σου, ὃν εὐλογοῦσιν οὐρανῶν, αἱ δυνάεις βροτῶν τε συστήματα, ὁ ἡμᾶς λυτρωσάμενος, ῆς κατάρας τῆς ἀρχαίας εὐλογημένη.

Κανὼν δεύτερος. Παῖδες Ἑβραίων.

Ὅλος τῇ αἴγλῃ διαλάμπων, ἧς ἐπέτυχες ἀκτίστου πάτερ δόξης, ὑπὲρ λόγον πιστῶν, τοὺς ήμους καταυγάζεις, Λουκιανὲ τιμώντων σου, τὰς αιδρὰς παναριστείας.

Ὕμνους ἀνέμελπες Κυρίῳ, ἐν τῷ πάσχειν σε εἱρκτῇ ἐν τῇ ζοφώδῃ, ἣν νυμφῶνα φωτός, ὡς ληθῶς εἰργάσω, Λουκιανὲ δεξάμενος, ἐν αὐτῇ ιμῷ τὸ τέλος.

Σῶμά σου μάκαρ διεσώθη, θαλαττίου ἐκ βυθοῦ Θεοῦ κελεύσει, μαρτυροῦντος τρανῶς, οἵας ἐν όλῳ δόξης, Λουκιανὲ τετύχηκας, ὡς ἀνδρείως ναθλήσας.

Θεοτοκίον.

Πᾶσά σε κτίσις μακαρίζει, εἰς αἰῶνας Μαριὰμ εὐλογημένη· ἐπὶ σὲ γὰρ Θεός, Παρθένε ἐπιλέψας, ἀνέπλασεν ὡς εὔσπλαγχνος, τῶν ἀνθρώων τὴν οὐσίαν.

Κανὼν πρῶτος. Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Λιμῷ νοητῷ τοὺς ἐκτακέντας, τῷ ἄρτῳ τῶν λόγων σου ἐστήριξας, μόνον σέβειν Κύριον, ἄρον τῆς ζωῆς ἡμῶν, καθυποδείξας ἔνδοξε, ᾧ πάντες ψάλλομεν· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Πατήσας δεινὰς μηχανουργίας, ἐχθροῦ τοῦ ἀπατεῶνος τῇ ἀθλήσει σου, ἤρθης πρὸς περίδοξον, ὕψος ἀξιάγαστε, καὶ τῶν Ἀγγέλων ἔφθασας, βοῶν τὰ τάγματα· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὢ ξένων πραγμάτων τελεσθέντων, ἐν σοὶ ὦ Λουκιανὲ θεομακάριστε! κόλπος γὰρ θαλάττιος, σῶμά σου τὸ ἅγιον, ἐφ' ἱκανὸν δεξάμενος, οὐκ ἐλυμήνατο, τῇ χέρσῳ διασῴζει δὲ σῶον, ῥεῖθρα ἰαμάτων, ἐκβλύζον τοῖς ποθοῦσι.

Θεοτοκίον.

Καὶ γλώσσῃ Παρθένε καὶ καρδίᾳ, ἁγνὴν Θεοτόκον σε κηρύττομεν· Κύριον γὰρ ἔτεκες, σάρκα περικείμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι κατανοούμενον· ὃν πᾶσαι οὐρανῶν αἱ Δυνάμεις, ἀνυμνολογοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Κανὼν δεύτερος. Τὸν Βασιλέα.

Οὐδὲν τῆς θείας, ἐχώρισέ σε ἀγάπης, ἐν Χριστῷ Λουκιανὲ καθυπομείνας, ἀθέων τυράννων, ἀνδρείως τὰς βασάνους.

Θύσας Κυρίῳ, τὰς ἀναιμάκτους θυσίας, σαυτὸν ὕστερον Λουκιανὲ προσῆξας, θυσίαν ἀθλήσας, λιμῷ πικρῷ καὶ δίψῃ.

Ὡς φωταυγής σου, ἡ θεοδόξαστος μνήμη! ἐν ᾗ πάντες οἱ πιστοὶ συναθροισθέντες, τὸ μαρτύριόν σου, Λουκιανὲ τιμῶμεν.

Θεοτοκίον.

Πατρὸς τὸν Λόγον, ὑπὲρ αἰτίαν καὶ λόγον, ἀπειράνδρως συλλαβοῦσα Θεοτόκε, ἔτεκες ἀφράστως, εἰς κόσμου σωτηρίαν.

Κανὼν πρῶτος. Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Λάμπει σου σοφὲ τὸ ἱερὸν μνημόσυνον, ταῖς ἀκτῖσι ταῖς τοῦ Πνεύματος, νέφος παθῶν διασκεδάζον, φωτίζον εὐσεβῶν τὰ συστήματα, καὶ φλέγον τῶν δαιμόνων στρατεύματα· ὁ ἐκτελοῦντας ἡμᾶς φύλαττε.

Ἐλύθης τοῦ σώματος δεσμῶν μακάριε, καὶ πρὸς ὕψος ἐπουράνιον, χαίρων ἀνέπτης καὶ ἐπώφθης, ὡραῖος τῶν στιγμάτων τερπνότησι, Θεῷ τῷ Ποιητῇ ᾧ παρίστασαι, μετὰ Μαρτύρων εὐφραινό-

www.tezaurliturgic.ro



μενος.

Ο μάρτυς ἡμᾶς Λουκιανὸς συνήγαγεν, εὐφημῆσαι τούτου σήμερον, ἄθλους λαμπροὺς καὶ τοὺς ἀγῶνας, τὴν μέχρι τελευτῆς γενναιότητα, θαυμάτων τε τὴν χάριν τὴν ἄφθονον· ὃν ἐπαξίως μακαρίζομεν.

Θεοτοκίον.

Σοφίας δοχεῖον ὑπὲρ νοῦν τῆς κρείττονος, ἀνεδείχθης Κόρη πάναγνε, ἔμψυχος θρόνος τε καὶ πύλη· διό σε τῶν βροτῶν τὰ συστήματα, Ἀγγέλων τε δοξάζει στρατεύματα, μόνην τῶν πάντων ὑπερέχουσαν.

Κανὼν δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Λιμῷ μάκαρ καὶ δίψῃ θανατωθείς, πρὸς σκηνὰς τὰς ἀφθάρτους μετέβηκας, ἔνθα ζωῆς, μέτοχος ἐγένου τῆς ἀληθοῦς, καὶ σὺν Μαρτύρων τάγμασι, χαίρων νῦν παρίστασαι τῷ Χριστῷ, δεήσεις ἀναφέρων, Λουκιανὲ θεόφρον, ὑπὲρ ἡμῶν τῶν εὐφημούντων σε.

Ἐτέλεσας τὸν δρόμον καρτερικῶς, καὶ τὴν πίστιν ἀνδρείως ἐτήρησας· ὅθεν Χριστός, τῆς δικαιοσύνης τὸν φωτεινόν, ἀπέδωκέ σοι στέφανον, ὦ ἱερομάρτυς Λουκιανέ· ᾧ νῦν στεφανηφόρος, παριστάμενος πάντων, τῶν ἀνυμνούντων σε μνημόνευε.

Κυρίου καταπαύσας ἐν δεξιοῖς, καὶ φωτὸς ἐν μεθέξει γενόμενος, ὡς ἀριστεύς, μέγιστος τρισμάκαρ Λουκιανέ, τοῖς πόθῳ εὐφημοῦσί σε, αἴτει τὴν εἰρήνην ὡς συμπαθής· κἀμὲ δὲ τὸν τοὺς ὕμνους, σοὶ ὑφάναντα τούτους, σῷζε κινδύνων τῇ πρεσβείᾳ σου.

Θεοτοκίον.

Ὡραίωσον ψυχήν μου τὴν ταπεινήν, ἣν τὰ πάθη κατέστησαν ἄμορφον, καὶ λογισμοῖς, Μῆτερ μετανοίας εἰλικρινοῦς, τῷ σῷ Υἱῷ οἰκείωσον, Δέσποινα καὶ σῶσόν με ἐπὶ σέ, προστρέχοντα ἐν πίστει, καὶ πόθῳ προσκυνοῦντα, τὸ ξένον θαῦμα τῆς λοχείας σου.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Πνευματικῆς ὡς ἔμπλεως, χάριτος καὶ σοφίας, Λουκιανὲ πανεύφημε, τὴν θεόπνευστον μάρτυς, Γραφὴν ἡρμήνευσας πᾶσαν· πλάνην δὲ τῶν Ἑλλήνων, ἤλεγξας τὴν πολύθεον, καὶ ψευδώνυμον γνῶσιν· τὴν δὲ Χριστοῦ, Ἐκκλησίαν ηὔφρανας Ἀθλοφόρε, φαιδρύνων ἐν τοῖς λόγοις σου, Ὀρθοδόξων τὰ πλήθη.

Θεοτοκίον.

Ναὸς ἐγένου Πάναγνε, τῆς Θεότητος ὅλης· τὸν τῆς Τριάδος ἕνα γάρ, τέτοκας ἀπορρήτως, διπλοῦν τῇ φύσει Παρθένε, ἐν μιᾷ ὑποστάσει· ὃν ἐκτενῶς ἱκέτευε, σῶσαι τοὺς σὲ ὑμνοῦντας, ἐκ πειρασμῶν, καὶ κινδύνων Δέσποινα Θεοτόκε· σοὶ γὰρ τὸ Χαῖρε κράζομεν, προστασία τοῦ κόσμου.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλος τῷ Κυρίῳ σου, ἀνατεθεὶς παιδιόθεν, τὰ αὐτοῦ ἐφύλαξας, γνώμης προθυμότητι, δικαιώματα, καὶ χρισθεὶς χρίσματι, τῆς ἱερωσύνης, θεαρέστως ἱερούργησας, καὶ βάψας αἵματι, τὴν λαμπρὰν στολήν σου ἀνέδραμες, πρὸς πόλιν ἐπουράνιον, ἔνθα ἃ ἐπόθεις ἀπέλαβες. Ὅθεν ἐκδυσώπει, ἀεὶ ὡς συμπαθὴς Λουκιανέ, ὑπὲρ ἡμῶν τῶν τιμώντων σου, τὴν ἁγίαν ἄθλησιν.

Λόγῳ θείας χάριτος, τὰς κλονουμένας καρδίας, μάρτυς ἐπεστήριξας, καὶ ἀθλεῖν στερρότατα, παρεσκεύασας· καὶ τὸ ποτήριον, ὃ πιεῖν τοὺς ἄλλους, παμμακάριστε προέτρεπες, τοῦτο γηθόμενος, ἔπιες καὶ πλάνης τοὺς ῥύακας, εἰς τέλος ἀπεξήρανας, ὦ Λουκιανὲ πανσεβάσμιε. Ὅθεν ἀνεπαύσω, σκηναῖς ἐν πρωτοτόκων εὐκλεῶς, ὑπὲρ ἡμῶν ἱλεούμενος, τὸν Πανυπεράγαθον.

Ἤνεγκας τὰ τραύματα, θαρσαλεότητι γνώμης, καὶ ἐχθρὸν τὸν δόλιον, ἐν τῷ τραυματίζεσθαι, ἐτραυμάτισας. Ὅθεν πρὸς κρείττονα, μετετέθης λῆξιν, λιμοθνὴς ἀξιοθαύμαστε, καὶ ἀληθέστατα, τῆς ζωῆς τοῦ ἄρτου μετέλαβες, Λουκιανὲ καὶ νάματος, τῆς ἀθανασίας ἐτρύφησας. Ὅθεν ἱκετεύω, τῆς χάριτος τῷ θείῳ δροσισμῷ, τὴν αὐχμωθεῖσαν καρδίαν μου, δεῦρο καταδρόσισον.

Πάντας τοὺς προστρέχοντας, τῇ δραστικῇ σου πρεσβείᾳ, καὶ ἀνευφημοῦντάς σε, ὡς Ἱερομάρτυρα, ἱερόνικον, δεῦρο καὶ λύτρωσαι, τῇ ἐπισκοπῇ σου, τῶν ἐν βίῳ περιστάσεων, πόνων κακώσεων, καὶ ἐπηρειῶν τοῦ ἀλάστορος, καὶ πάσης ἄλλης θλίψεως, ὡς πλουτῶν πολλὴν τὴν συμπάθειαν· σὺ γὰρ παρρησίας, πλουσίως ὑπεδέξω ἐκ Θεοῦ, Λουκιανὲ τὰ δωρήματα, ὡς ἀθλήσας ἄριστα.

www.tezaurliturgic.ro



Δόξα Πατρί. Ἦχος πλ. α΄.

Δεῦτε σήμερον ἀδελφοί, πνευματικῶς εὐφημήσωμεν, Λουκιανὸν τὸν μακαριώτατον, τοῦ Χριστοῦ ἱερομάρτυρα. Οὗτος γὰρ τὸν νοῦν ἐπερείσας τῇ πέτρᾳ τῆς πίστεως, οὐδαμῶς ἐσαλεύθη ταῖς προσβολαῖς τῶν βασάνων· καὶ λιμῷ ἀπηνῶς θανατωθείς, τοῦ ἐσωτέρου καταπετάσματος ἔνδον γέγονεν, ἔνθα καθορᾷ νῦν τοῦ Θεοῦ, ἀμέσως τὸ ἀθέατον πρόσωπον. Ὅθεν αὐτῷ ἐκβοήσωμεν· Ὡς Ἱερεὺς ἐννομώτατος, καὶ Μάρτυς καρτερώτατος, ἱκέτευε Θεὸν διαπαντὸς σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε, Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοὶ καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ Ὠδή. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῇ ι΄ Φεβρουαρίου.

Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις εὐσεβείας ὑφηγητής, καὶ Γραφῶν τῶν θείων, θεηγόρος διερμηνεύς· χαίροις τῶν Μαρτύρων, οὐράνιος ἀλείπτης, Λουκιανὲ καὶ μάρτυς, Χριστοῦ ἀγάφθεγκτος.

*Δίστιχον.*

*Κυρίλλῳ χάριν Λουκιανὲ χορήγει*
*Τόνδε τὸν ὕμνον εὐλαβῶς πλέξαντί σοι.*